# *The soap – Season 3*

Text: Platon, Dialog (> auch 1. und 2. Person). – ἀπ|άρχω: „|“ nur wenn das Verb vokalisch anlautet.

Nützlich: ‚Basics‘ zum Verb (Personalendungen, Tempuszeichen …); Akzentregeln beim Verb (insbes. Zirkumflex auf der letzten Silbe einer finiten Verbalform > Kontraktion); Demonstrativ- / Personalpronomina als Subjekt (> Person + Numerus der Verbalform); ὅταν, ἐάν, ἐπειδάν (> darauf folgt Konjunktiv).

| | | |
|---|---|---|
| für | Καὶ ἥδομαι ἐγώ, ὦ Κέφαλε, καὶ χαίρω γε διαλεγόμενος τοῖς σφόδρα πρεσβύταις· | 3 |
| Fr. | δοκεῖ γάρ μοι δεῖν παρ’ αὐτῶν πυνθάνεσθαι, ὥσπερ τινὰ ὁδὸν προ|ελθόντων, ἣν καὶ | 4 |
| 21. | ἡμεῖς ἴσως πορεύσονται, ποία τίς ἐστιν, τραχεῖα καὶ χαλεπή, ἢ ῥᾳδία καὶ εὔπορος. | 2 |
| | | |
| Fr. | καὶ δὴ καὶ σοῦ ἡδέως ἐπυνθανόμην, ὅτι σοι φαίνεται τοῦτο, ἐπειδὴ ἐνταῦθα ἤδη εἶ | 3 |
| 28. | τῆς ἡλικίας ὃ δὴ „ἐπὶ γήραος οὐδῷ“ λέγουσιν εἶναι οἱ ποιηταί, πότερον χαλεπὸν τοῦ | 2 |
| | βίου, ἢ πῶς σὺ αὐτὸ ἐξ|αγγέλλεις. Ἐγώ σοι, ἔλεγε, νὴ τὸν Δία εἰπεῖν βούλομαι, | 4 |
| | ὦ Σώκρατες, οἷόν γέ μοι φαίνεται. | 1 |
| | | |
| Fr. | πολλάκις γὰρ συν|ερχόμεθά τινες εἰς ταὐτὸν παραπλησίαν ἡλικίαν ἔχοντες, | 2 |
| 05. | διασῴζοντες τὴν παλαιὰν παροιμίαν· οἱ οὖν πλεῖστοι ἡμῶν ὀλοφύρονται, ὅταν | 2 |
| Juli | συν|έλθωσι, τὰς ἐν τῇ νεότητι ἡδονὰς ἀναμιμνῃσκόμενοι καὶ ποθοῦντες περί τε | 3 |
| | τἀφροδίσια καὶ περὶ πότους τε καὶ εὐωχίας καὶ ἄλλ’ ἄττα ἃ τῶν τοιούτων ἔχεται, καὶ | 1 |
| | ὀλοφύρονται ὡς μεγάλων τινῶν ἀποστερηθέντες | 2 |
| | | |
| | ἔνιοι δὲ καὶ τοὺς τῶν οἰκείων προπηλακισμοὺς τοῦ γήρως ὀδύρονται, καὶ ἐπὶ τούτῳ | 1 |
| Di. | δὴ τὸ γῆρας ἐκεῖνοι ὑμνοῦσιν, ὅσων κακῶν σφίσιν αἴτιόν ἐστιν. δοκοῦσιν δέ μοι, ὦ | 3 |
| 09. | Σώκρατες, οὗτοι οὐ τὸ αἴτιον αἰτιᾶσθαι. εἰ γὰρ ἦν τοῦτ’ αἴτιον, κἂν ἐγὼ τὰ αὐτὰ | 2 |
| | ταῦτα ἔπασχον, ἕνεκά γε γήρως, καὶ οἱ ἄλλοι πάντες ὅσοι ἐνταῦθα ἦλθον ἡλικίας. | 2 |
| | νῦν δ’ ἔγωγε ἤδη ὡμίλησα τοῖς οὕτως ἔχουσιν, καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ | 2 |
| | παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· | 2 |
| | | |
| | „Πῶς“,” εἶπεν „ὦ Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τε εἶ γυναικὶ | |
| Fr. | συγγίγνεσθαι“; καὶ οὗτος „ἀσμενέστατα, ὦ ἄνθρωπε, αὐτὸ ἀπέφυγον.“ εὖ οὖν μοι | |
| 12. | καὶ τότε ἔδοξεν ἐκεῖνος εἰπεῖν, καὶ νῦν οὐχ ἧττον. παντάπασι γὰρ τῶν γε τοιούτων | |
| | ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίγνεται καὶ ἐλευθερία· ἐπειδὰν αἱ ἐπιθυμίαι παύσωνται | |
| | καὶ χαλάσωσιν, παντάπασιν τὸ τοῦ Σοφοκλέους γίγνεται. | 11 |
| | | |
| | δεσποτῶν γὰρ πάνυ πολλῶν καὶ μαινομένων ἀπ|ηλλάγημεν. ἀλλὰ καὶ τούτων πέρι | |
| Fr. | μία τις αἰτία ἐστίν, οὐ τὸ γῆρας, ὦ Σώκρατες, ἀλλ’ ὁ τρόπος τῶν ἀνθρώπων. ἐὰν μὲν | |
| 19. | γὰρ κόσμιοι καὶ εὔκολοι ὦσιν, καὶ τὸ γῆρας μετρίως ἐστὶν ἐπίπονον· εἰ δὲ μή καὶ | |
| | νεότης, ὦ Σώκρατες, χαλεπὴ τῷ τοιούτῳ συμβαίνει. Καὶ ἐγὼ ἀκούσας αὐτοῦ | |
| | εἰπόντος ταῦτα ἐβουλόμην αὐτὸν ἔτι λέγειν καὶ εἶπον· Ὦ Κέφαλε, οἶμαί σου τοὺς | 14 |
| | πολλούς, ὅταν ταῦτα λέγῃς, οὐκ ἀποδέχεσθαι . | |